Κλ. Ἡ βύρσα σου θρανεύσεται.
Αλλ. Δερῶ σε θύλακον κλοπῆς.
Κλ. Διαπατταλευθήσει χαμαί.
Αλλ. Περικόμματ' ἐκ σοῦ σκευάσω.
Κλ. Τὰς βλεφαρίδας σου παρατιλῶ.
Αλλ. Τὸν πρηγορεῶνά σου ᾽κτεμῶ.
Δη. Καὶ νὴ Δί' ἐμβαλόντες αὐ-
τῷ πάτταλον μαγειρικῶς
Εἰς τὸ στόμ', εἶτα γ' ἔνδοθεν
Τὴν γλῶτταν ἐξείραντες αὐ-
τοῦ, σκεψόμεσθ' εὖ κἀνδρικῶς
Κεχηνότος,
Τὸν πρωκτὸν, εἰ χαλαζᾷ.

A *CL. Cutis tua dilatabitur.*
*AG. Laniabo te furti saccum.*
*CL. Distentus affigêre humi.*
*AG. Ex te faciam præsegmina,*
*CL. Circum tibi vellam palpebras.*
*AG. Strumam tibi exscindam illi-*
*cò.*
*DE. Et per Iouem, ritu coqui*
B *Immittite illi stipitem*
*In os, deinde linguam ei*
*Extrahite: tum videbimus*
*Hiante eo,*
*Podéxne grandinosus.*

Σχόλια. Οἷόν σε δήσω.] μόνον ἵνα ἢ λέγων. τῶν μὲν ἄλλων σου συνωμοτῶν καίπερ ἀδικούμενος ὑπ' αὐτῶν φείσομαι, σὲ δὲ μόνον δήσω τῷ ξύλῳ. εἶδος δὲ δεσμωτηρίου τὸ ξύλον. ἣν ποδοκάκην λέγουσι καὶ ποδοστράβην. διώξομαι δὲ κατηγορήσω σου δειλίας. ἀγῶνα ἐνστήσομαι κατὰ σοῦ. Θρανεύσεται.] ἐκταθήσεται. θράνος γὰρ ὑποπόδιον, ὅπου τὰ δέρματα ἐκτείνεται. πάλιν δὲ ὡς βυρσοπώλης τοῦτο λέγει. ἄλλως. ξαίνειν ἔλεγον τὸ τύπτειν, καὶ ξαίνεσθαι τὸ πάσχειν. φησὶν οὖν ἡ βύρσα σου τυπτομένη διαφθαρήσεται. ἰδίως δὲ ὡς βυρσεὺς τῇ ἀπειλῇ ταύτῃ κέχρηται. καὶ γὰρ τὰς βύρσας ξύλοις τύπτειν εἰώθασιν ἵνα ἁπαλαὶ ὦσιν. ἔνιοι δὲ, ἵνα διαλάβοιεν εὐχερῶς τοῦ φαρμάκου. Δερῶ σε θύλακον.] ἐκδερῶ σε. τὸ γὰρ ἐκδέρειν μᾶλλον τῶν μαγείρων τέχνη. ἐκδερῶ σε φησὶν ὥστε ἀπὸ τοῦ σώματός σου, θύλακον ποιῆσαι εἰς ὑποδοχὴν κλέμματος. Διαπατταλευθήσει.] ἐκταθήσῃ χαμαί. τὰς γὰρ βύρσας ἐκτείνοντες ἐπὶ τῆς γῆς ἵνα μὴ συνάγοιντο, καὶ συστέλλοιντο ἐκ τῆς τοῦ ἡλίου καύσεως, κατὰ ἄκρα παττάλοις κατακρούοντες, ἐκτείνουσιν. ἄλλως. χαμαὶ ἐπὶ τῶν παττάλων ἐξέδερον τὰ δέρματα. Περικόμματ' ἐκ σοῦ.] περικόμματα τὰ ἐκ τῶν μαγείρων περιαιρούμενα τῶν κρεῶν. ὃ δὲ βούλεται λέγειν τοιοῦτόν ἐστι. τουτέστι κατὰ μέρος συγκόψω τὸ σῶμα. ὡς μάγειρος δὲ λέγει. Τὰς βλεφαρίδας.] παρεπιγραφὴ τὸ σχῆμα. ἐπὶ γὰρ τὰς ὄψεις τοῦ ἀλλαντοπώλου ἐπιβαλὼν τὰς χεῖρας ἐκτίλλει. τῶν γὰρ βυρσέων ἐστὶν ἔργον τῶν δερμάτων ἀπομαδίζειν τὰς τρίχας. ἢ ὅτι πρὸς τὸ ῥάπτειν τριχῶν δέονται. Τὸν πρηγορεῶνα.] τὸν λεγόμενον γαργαρεῶνα. παρατηρητέον δὲ ἐν πᾶσι τοῖς ἀντιθετοῖς, ὅτι ἀπὸ τῆς αὐτοῦ τέχνης ἑκάτερος αὐτῶν τοῖς ὀνόμασι χρῆται καὶ ταῖς λέξεσιν. ὥσπερ γὰρ τῶν βυρσέων τὸ καθαίρειν καὶ μαδίζειν τῶν δερμάτων τὰς τρίχας, οὕτω καὶ τῶν μαγείρων τὸ τέμνειν καὶ σφάζειν εἰς τὸν λαιμὸν τὰ θρέμματα. κυρίως δὲ ἡ τῶν ὀρνέων φάρυγξ, ἐν ᾗ ἀγείρεται ἡ τροφή. Μαγειρικῶς.] εἰώθασι γὰρ οἱ μάγειροι πασσάλοις τὰ τῶν χοίρων ἀνοίγοντες στόματα κατανοεῖν εἰ χαλαζῶσι. χάλαζα δὲ πάθος τῶν χοίρων. ἄλλως. οἱ μάγειροι μετὰ τὸ ἀποσφάξαι τὰ θρέμματα, εἰώθασι κρεμᾶν αὐτὰ ἐκ τοῦ παττάλου καὶ οὕτως ἐκδέρειν. συνάγειν δὲ εἰώθε τὰ θρέμματα τὸ στόμα. κατὰ ταῦτα οὖν φησι. χρὴ πάτταλον ἐμβαλεῖν εἰς τὸ στόμα καὶ διανοῖξαι πρὸς τὸ ἐξεῖραι τὴν γλῶτταν. ἐξείραντες δὲ αὐτήν. ἑλκύσαντες ἀνασπάσαντες. Σκεψόμεθα.] ἐπιγνωσόμεθα. ἀνδρικῶς δὲ ἀντὶ τοῦ ἀνεπικωλύτως. ἅτε τῆς γλώττης προεξειρημένης καὶ μὴ ἐμποδιζούσης τὴν θέαν. Χαλαζᾷ.] ἤτοι εἰ χαλαρός ἐστι. καὶ εἰ χαλαζᾷ ἐκεῖ. νόσημα δὲ τοῦτο τῶν θρεμμάτων, ὅπερ ζώντων μὲν λανθάνει. ἀποθανόντων δὲ καὶ τεμνομένων φανερὸν γίνεται. ταῖς σαρξὶ δὲ αὐτῶν ἀναμέμικται καὶ ἐμπέφυκεν ἡ χάλαζα.

(Margin letters C, D, E.)

Bisetus. Κορωνὶς καὶ ἔκθεσις χοροῦ προῳδικὴ ἐκ κώλων ζ. ἐν ἐκθέσει δὲ στίχοι δύο.

Χο. Ἦν ἄρα πυρὸς γ' ἕτερα θερμότερα,
Καὶ λόγων ἐν πόλει
Τῶν ἀναιδῶν ἀναιδέστεροι.
Καὶ τὸ πρᾶγμ' οὐκ ἦν φλαῦρον ὧδ'.
Ἀλλ' ἔπιθι καὶ στρόβει,
Μηδὲν ὀλίγον ποίει.
Νῦν γὰρ ἔχεται μέσος.
Ὡς ἂν νυνὶ μαλάξῃς αὐτὸν ἐν τῇ προσ-
βολῇ,
Δειλὸν εὑρήσεις. ἐγὼ γὰρ τοὺς τρόπους ἐπί-
σταμαι.

CH. *Feruidius ergo aliud igne erat hîc.*
*Vulgi item vocibus*
*Vox erat quæpiam obscœnior:*
*Et hæc erat res haud mala.*
F *At tu in hominem irruere:*
*Tunde, modicum nihil*
*Fac: medium enim tenes.*
*Hunc si tu in primo aditu molliorem feceris: dein*
*Timidum reperies: nam noui ego mores huius viri.*

G

Σχόλια. Ἦν ἄρα πυρός.] διπλῆ καὶ ἐν ἐπεισθέσει, περίοδος τοῦ χοροῦ παιωνικὴ ἑπτάκωλος ἔχουσα τετράρρυθμα, πρῶτον δεύτερον. τὰ δὲ λοιπὰ δίρρυθμα. ἄλλως. κορωνὶς καὶ ἔκθεσις χοροῦ προῳδικὴ ἐκ κώλων παιωνικῶν ἐπιμεμιγμένων κρητικοῖς ἑπτά. ὧν τὸ πρῶτον τρίμετρον ἀκατάληκτον καθαρόν. τὸ δεύτερον δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν ἤτοι ἀμφιμάκρων. τὸ γ' ὅμοιον τῷ πρώτῳ ἐκ κρητικῶν. τὸ τέταρτον ὅμοιον. τὸ ε' ὅμοιον τῷ δευτέρῳ ἐκ παίωνος καὶ κρητικοῦ ὡς καὶ τὰ ἑξῆς δύο. ἐν ἐκθέσει δὲ στίχοι δύο τροχαϊκοὶ τετράμετροι καταληκτι-